τὸ ποιοῦν τὴν αὔξησιν καὶ τὴν τροφὴν ἐν τοῖς ζῴοις καὶ τοῖς φυτοῖς· πότερον δὲ ἀληθῶς τὸ πῦρ τρέφεταί τε καὶ αὔξει, κατωτέρω φανερωθήσεται.

Τὸ δὲ συναίτιον. Ἐνταῦθα ἀποδοκιμάζει τὴν προειρημένην θέσιν.

Ἰστέον μέντοι, ὅτι ἡ προειρημένη θέσις ἔχει τι ἀληθείας· ἀνάγκη γάρ ἐστι πᾶσαν τροφὴν ἑψεῖσθαι, ὃ γίνεται διὰ πυρός· ὅθεν τὸ πῦρ τρόπῳ τινὶ ἐνεργεῖ εἰς τὴν τροφὴν καὶ ἀκολούθως πρὸς τὴν αὔξησιν, οὐ μέντοι ὡς πρω|τοτύπως καὶ ἀρχοειδῶς ἔρῶν· τοῦτο γάρ ἐστι τῆς ψυχῆς· f. 300v ἀλλ' ὡς δεύτερον ποιοῦν καὶ ὀργανικόν. Καὶ διὰ τοῦτο φησὶν ὅτι συναίτιον μέν πως ἐστίν, ὥσπερ τὸ ὄργανον συναίτιον ἐστὶ τοῦ πρώτως ποιοῦντος, οὐ μέντοι γε ἁπλῶς αἰτία ἐστίν, ὥσπερ αὐτὸ τὸ ποιοῦν, ἀλλὰ μᾶλλον τοῦτον τὸν τρόπον αἰτία ἐστὶν ἡ ψυχή, ὅπερ οὕτως ἀποδείκνυσιν. Τοῦτο ἐστὶν ἀρχοειδὲς ἐν ἑκάστῃ ἐνεργείᾳ, παρ' οὗ ἐπιγίνεται τὸ πέρας καὶ ὁ λόγος τῷ γινομένῳ, ὡς δῆλον ἐπὶ τῶν τεχνητῶν, ὅτι τὸ πέρας καὶ ὁ λόγος τοῦ κιβωτίου ἢ τῆς κλίνης οὐκ ἐπιτίθεται παρὰ τῶν ὀργάνων, ἀλλὰ παρὰ τῆς τέχνης αὐτῆς· τὰ γὰρ ὄργανα ἔχουσιν ἀδιαφόρως πρὸς τὸ συνεργεῖν πρὸς τὸ εἶδος τοῦτο καὶ τὴν ποσότητα καὶ πρὸς ἄλλα· ὁ γὰρ πρίων, ὅσον τὸ ἀφ' ἑαυτοῦ, πέφυκε πρίζειν τὸ ξύλον, ὥστε ἁρμόσαι καὶ θύρᾳ καὶ σκίμποδι καὶ οἰκίᾳ καὶ οἱαδήποτε ποσότητι· ἀλλὰ τὸ οὕτω πρίζεσθαι τὸ ξύλον, ὥστε ἐπιτήδειον εἶναι αὐτὸ πρὸς τὸ τοιοῦτον εἶδος καὶ πρὸς τὴν τοιαύτην ποσότητα, ἐκ τῆς δυνάμεως ἐστὶ τῆς τέχνης· φανερὸν δέ ἐστιν, ὅτι ἐν πᾶσι τοῖς κατὰ φύσιν ἐστὶν ὡρισμένον πέρας καὶ λόγος διωρισμένος μεγέθους καὶ αὐξήσεως. Ὥσπερ γὰρ παντὶ εἴδει ὀφείλονται ἴδια τινὰ συμβεβηκότα, οὕτω καὶ ἰδία ποσότης, εἰ καὶ μετά τινος διαφορᾶς διὰ τὴν ποικιλίαν τῆς ὕλης καὶ ἄλλας αἰτίας ἀτομικάς· οὐ γὰρ πάντες οἱ ἄνθρωποι μιᾶς εἰσὶ ποσότητος. Ἀλλ' ὅμως ἔστι τις ποσότης μεγέθους, ἧς τὸ ἀνθρώπινον εἶδος οὐχ ὑπερεκτείνεται, καὶ ποσότης τις αὖθις οὕτω μικρά, ὑφ' ἣν ὁ ἄνθρωπος οὐχ εὑρίσκεται. Τοῦτο τοίνυν, ὅπερ ἐστὶν αἰτία τοῦ ἀφωρίσθαι τὸ μέγεθος καὶ τὴν αὔξησιν, ἡ ἀρχοειδὴς αἰτία ἐστὶ τῆς αὐξήσεως. Αὕτη δὲ οὐκ ἔστι πῦρ· Φανερὸν γὰρ ὅτι τὸ πῦρ οὐκ αὔξει μέχρις ὡρισμένης ποσότητος, ἀλλ' ἐπ' ἄπειρον ἐκτείνεται, εἰ ἐπ' ἄπειρον ἡ πρὸς καῦσιν ἐπιτηδεία ὕλη εὑρίσκεται. Φανερὸν τοίνυν, ὅτι τὸ πῦρ οὐκ ἔστιν ἀρχοειδὲς ποιοῦν ἐν τῇ αὐξήσει καὶ τῇ τροφῇ, ἀλλὰ μᾶλλον ἡ ψυχή. Καὶ τοῦτο εὐλόγως συμβαίνει, διότι ὁ διορισμὸς τῆς ποσότητος ἐν τοῖς φυσικοῖς πράγμασιν ἐστὶ μᾶλλον ἐκ τῆς μορφῆς, ἥτις ἐστὶ τοῦ εἴδους ἀρχή, ἢ ἐκ τῆς ὕλης· ἡ ψυχὴ δὲ παραβάλλεται πρὸς τὰ ἐν τῷ ζῶντι σώματι στοιχεῖα ὡς εἶδος πρὸς ὕλην. Μᾶλλον τοίνυν τὸ πέρας καὶ ὁ λόγος τοῦ μεγέθους καὶ τῆς αὐξήσεως ἐστὶ παρὰ τῆς ψυχῆς ἢ παρὰ τοῦ πυρός.

---

**16** *πρὸς* **avant** *τὴν* **add B 23** *διαφορᾶς* **om A, qui laisse un blanc; en marge B**

Ε. Σ.Α της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Leçon IX.

Ἐπεὶ δ' ἡ αὐτὴ δύναμις. Δείξας ὁ Φιλόσοφος, ὅτι ἡ ψυχή ἐστιν ἀρχὴ τῶν ἐνεργειῶν τῶν ἀποδιδομένων τῇ φυτικῇ δυνάμει, ἐνταῦθα σκοπεῖ διορίζεσθαι περὶ τούτων· καὶ πρῶτον διορίζεται περὶ τοῦ ἀντικειμένου ἤγουν περὶ τῆς τροφῆς· δεύτερον, περὶ ἐκείνου, καθὸ ἁρμόζει ταῖς ἐνεργείαις τῆς φυτικῆς ψυχῆς, ἐν τῷ· Ἐπεὶ δὲ οὐδὲν τρέφεται· Τρίτον, ὁρίζεται τὰς δυνάμεις, αἵτινες εἰσὶν ἀρχαὶ τούτων τῶν ἐνεργειῶν, ἐν τῷ· Ὥσθ' ἡ μὲν τοιαύτη τῆς ψυχῆς.

Περὶ τὸ πρῶτον τρία ποιεῖ· πρῶτον, λέγει περὶ τίνος ἐστὶν ὁ σκοπός· δεύτερον, προτίθησιν ὅπερ κατὰ πρώτην ἐπίσκεψιν φαίνεται περὶ τροφῆς, ἐν τῷ· Δοκεῖ δὲ εἶναι ἡ τροφή· τρίτον, κινεῖ περὶ τοῦτο ἀπορίαν, ἐν τῷ· Ἀπορίαν δὲ ἔχει.

Λέγει τοίνυν ὅτι, ἐπεὶ ἡ φυτικὴ καὶ γεννητικὴ ὑπὸ τῇ αὐτῇ κοινῇ δυνάμει τῆς ψυχῆς περιέχονται, εἰ καὶ ἡ φυτική, τουτέστιν ἡ θρεπτική, ἐστὶν εἰδική τις δύναμις διακεκριμένη τῆς γεννητικῆς, δεῖ πρῶτον διορίσασθαι περὶ τῆς τροφῆς, ἥτις ἐστὶν ἀντικείμενον τῆς γεννητικῆς, εἴτουν φυτικῆς. Τούτῳ γὰρ τῷ ἔργῳ, δηλονότι τῇ θρέψει, διακρίνεται τοῦτο τὸ μέρος τῆς ψυχῆς τῶν ἄλλων, δηλονότι τοῦ αἰσθητικοῦ καὶ νοεροῦ· αἱ γὰρ ἄλλαι ἐνέργειαι τούτου τοῦ μέρους, τουτέστι τῆς ψυχῆς, ταύτην προϋποτιθέασιν.

Δοκεῖ δέ. Ἐνταῦθα, δεύτερον, προτίθησι τοῦτο ὃ κατὰ πρώτην ἐπίσκεψιν ἀναφαίνεται περὶ τροφῆς, καὶ προτίθησι τρία, ὧν πρῶτον ἐστίν, ὅτι ἡ τροφὴ δοκεῖ εἶναι ἐναντίον τῷ τρεφομένῳ διὰ τὸ τὴν τροφὴν τρέπεσθαι εἰς τὸ τρεφόμενον, τὰς δὲ γενέσεις γίνεσθαι ἐκ τῶν ἐναντίων· δεύτερον ἐστίν, ὅτι οὐ πᾶν ἐναντίον δοκεῖ ἀρκεῖν πρὸς τὸν λόγον τῆς τροφῆς, ἀλλὰ δεῖ εἶναι ἐξ ἐκείνων τῶν ἐναντίων, ἃ τὴν γένεσιν ἔχουσιν ἐξ ἀλλήλων· ἡ γὰρ τροφὴ μετατρέπεται εἰς τὴν οὐσίαν τοῦ τρεφομένου· ὅθεν ὅσαπερ ἐναντία ἐνυπάρχουσι τῇ οὐσίᾳ, τουτέστιν ἅτινα γίνονται μεταβολαὶ καὶ ἀλλοιώσεις πρὸς ἄλληλα καὶ οὐ γενέσεις, οὐκ ἀνήκουσι πρὸς τὸν λόγον τῆς τροφῆς· οὐ γὰρ λέγομεν ὅτι τὸ κάμνον γίνεται τροφὴ τοῦ ὑγιεινοῦ, ἢ τὸ λευκὸν τοῦ μέλανος, ἤ τι τοιοῦτον. Πῶς δὲ ἐν ταῖς οὐσίαις ἐστὶν ἡ ἐναντιότης, ἄλλη ζήτησις ἐστίν· τρίτον, δεῖ εἶναι ἐξ ἐκείνων τῶν ἐναντίων, ἃ τὴν αὔξησιν δέχονται ἐξ ἀλλήλων, διότι ἡ τροφὴ δοκεῖ ἕπεσθαι
f. 301 | τῇ αὐξήσει· ὅθεν, εἰ καὶ ἐκ πυρὸς γεννᾶται ὕδωρ ὡς ἐξ ἐναντίου, οὐ μέντοι γε λέγεται ὅτι ἐκ τοῦ πυρὸς τρέφεται ὕδωρ, ἀλλ' ὅτι ἐκ τοῦ ὕδατος τρέφεται πῦρ, καθόσον αἱ τοῦ ὑγροῦ ποιότητες εἰς τροφὴν γίνονται τῷ πυρί, διότι, δηλονότι ἐν τῷ τὸ πῦρ εἰς ὕδωρ τρέπεσθαι, φαίνεται

---

9 *καὶ* avant *περὶ* add B *αὖθις* avant *τρία* add B *αὐτῷ* après *σκοπὸς* add B 13 *κοινῇ* om B 22 *φαίνεται* B 31 *ὑγιοῖς* B

Ε.Υ.Π. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

νέα ὕδατος γένεσις, ἀλλὰ τὸ πῦρ προϋφεστὼς πρὸς φυλακὴν αὐτοῦ καὶ αὔξησιν δοκεῖ εἰς ἑαυτὸ τὴν ὑγρότητα μεταβάλλειν, καὶ διὰ τοῦτο ἐν τοῖς στοιχείοις μόνον τὸ πῦρ δοκεῖ τρέφεσθαι καὶ μόνον τὸ ὕδωρ αὐτοῦ εἶναι τροφή, καθὸ πρὸς τὸ ὕδωρ ἀνήκουσιν αἱ ὑγρότητες πᾶσαι καὶ αἱ ἰκμάδες.

Ἀπορίαν δὲ ἔχει. Ἐνταῦθα, τρίτον, κινεῖ ἀπορίαν τινὰ περὶ τὰ προδιωρισμένα· καὶ πρῶτον ἀντιτίθησι πρὸς ἑκάτερον μέρος· δεύτερον, λύει τὴν ἀντίθεσιν, ἐν τῷ· Πότερον δέ. Ἀναφύεται δὲ ἡ ἀπορία περὶ τὸ προειρημένον, ὅτι ἡ τροφὴ δοκεῖ εἶναι ἐναντίον· Τισὶ δέ, φησί, δοκεῖ ὅτι τὴν τροφὴν δεῖ εἶναι ὁμοίαν τῷ τρεφομένῳ· ἡ γὰρ τροφή ἐστιν *αἰτία* τῆς αὐξήσεως· δεῖ δὲ τὸ ὅμοιον τῷ ὁμοίῳ αὔξειν. Εἰ γάρ τι διάφορον ἐπιτεθείη τινί, οὐκ ἂν εἴη αὔξησις ἐκείνου, ἀλλὰ φύσεως τινὸς ἐξωτερικῆς πρόσθεσις. Δοκεῖ τοίνυν, ὅτι δεῖ τὸ ὅμοιον τῷ ὁμοίῳ τρέφεσθαι. Ἄλλοις δὲ δοκεῖ τὴν τροφὴν δεῖν εἶναι ἐναντίαν τῷ τρεφομένῳ, ὡς προείρηται, καὶ πρὸς τοῦτο ἐνάγονται δυσὶ λόγοις, ὧν ὁ πρῶτος τοιοῦτος ἐστίν· ὅτι ἡ τροφὴ πέττεται καὶ μεταβάλλεται εἰς τὸ τρεφόμενον, οὐδὲν δὲ μεταβάλλεται εἰ μὴ εἰς τὸ ἐναντίον ἢ τὸ μέσον, ὥσπερ τὸ λευκὸν μεταβάλλεται εἰς τὸ μέλαν, ἢ τὸ ὠχρόν· τὸ γὰρ μέσον τρόπον τινὰ ἐναντίον ἐστίν, ὥσπερ τὸ ὠχρὸν τῷ λευκῷ παραβαλλόμενον μέλαν ἐστί, τῷ δὲ μέλανι παραβαλλόμενον, ἔστι λευκόν· ἔστι γὰρ σύνθετον ἐξ ἑκατέρου. Ἡ τροφὴ ἄρα ἐστὶν ἐναντία τῷ τρεφομένῳ, εἰς ὃ μεταβάλλει. Ὁ δεύτερος λόγος ἐστίν, ὅτι τὸ ποιοῦν ἐστὶν ἐναντίον τῷ πάσχοντι· οὐ γὰρ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου πάσχει· ἡ τροφὴ δὲ πάσχει ὑπὸ τοῦ τρεφομένου· ἀλλοιοῦται γὰρ παρ' αὐτοῦ καὶ πέττεται· τὸ δὲ τρεφόμενον οὐ πάσχει ὑπὸ τῆς τροφῆς, ὥσπερ οὐδὲ ὁ τεχνίτης πάσχει ὑπὸ τῆς ὕλης, ἀλλὰ τὸ ἀνάπαλιν. Ἡ γὰρ ὕλη μεταβάλλεται, οὐχ ὁ τεχνίτης, εἰ μὴ ἴσως κατὰ συμβεβηκός, καθόσον ἐκ τοῦ δυνάμει χωρεῖ πρὸς ἐνέργειαν. Δοκεῖ τοίνυν τὴν τροφὴν ἐναντίαν εἶναι τῷ τρεφομένῳ. Ὁ πρῶτος τοίνυν τούτων τῶν λόγων λαμβάνεται ἐκ τῆς ἐναντιότητος, ἣν δεῖ εἶναι μεταξὺ τῶν ὅρων τῆς μεταβολῆς· ὁ δὲ δεύτερος, ἐκ τῆς ἐναντιότητος, ἣν δεῖ εἶναι μεταξὺ τοῦ ποιοῦντος καὶ τοῦ πάσχοντος· τὸ γὰρ τρεφόμενον καὶ δρᾷ εἰς τὴν τροφὴν καὶ ἔστιν ὅρος εἰς ὃν ἡ τροφὴ μεταβάλλει.

Πότερον. Ἐνταῦθα λύει τὴν προτεθεῖσαν ἀπορίαν, λέγων ὅτι διαφέρει ὅσον πρὸς τὸ προτεθὲν ζήτημα, πότερον τὸ προσγινόμενον, δηλονότι μετὰ τὴν ἕψησιν καὶ πέψιν, ἢ τὸ πρώτως λαμβανόμενον, δηλονότι πρὸ τῆς πέψεως καὶ τῆς ἑψήσεως, καὶ εἰ ἑκάτερον τούτων δύναται λέγεσθαι τροφή, τὸ μὲν ἓν αὐτῶν ὡς τροφὴ πεπεμμένη, τὸ δὲ λοιπὸν ὡς ἄπεπτος· καθ' ἑκάτερον γὰρ μέρος ἐνδέχεται κρίνειν περὶ τῆς τροφῆς, διότι καθόσον τροφὴ λέγεται ἡ ἄπεπτος, οὕτω τὸ ἐναντίον τῷ ἐναντίῳ τρέφεται· τοῦτο

10 *αἰτία*: *ὁμοία* B   18 *τὸ λευκὸν τῷ ὠχρῷ* B   26 *πρός*: *εἰς* B   37 *τῆς* om B

γάρ ἐστι τὸ πάσχον καὶ μεταβαλλόμενον· καθόσον δέ ἐστι πεπεμμένον, οὕτω τρέφεται τὸ ὅμοιον τῷ ὁμοίῳ· τὸ γὰρ ποιοῦν ἀφομοιοῖ ἑαυτῷ τὸ πάσχον. Ὅθεν ἐν τῷ τέλει τοῦ πάθους δεῖ τὸ πεπονθὸς ὅμοιον εἶναι τῷ ποιοῦντι, καὶ κατὰ τοῦτον τὸν τρόπον ἡ τροφὴ δύναται αὔξειν τὸ τρεφόμενον. Καὶ οὕτω φαίνεται, ὅτι ἑκατέρα μοῖρα τῶν ἐκεῖνα δοξασάντων τρόπον τινὰ ὀρθῶς λέγουσι, καί τινα τρόπον οὐκ ὀρθῶς.

Ἐπεὶ δὲ οὐδὲν τρέφεται. Ἐνταῦθα διορίζεται περὶ τῆς τροφῆς, καθὸ ἁρμόζει ταῖς ἐνεργείαις τῆς φυτικῆς ψυχῆς, καὶ πρῶτον καθὸ ἁρμόζει τῇ θρέψει· δεύτερον, καθὸ ἁρμόζει τῇ αὐξήσει· τρίτον, καθὸ ἁρμόζει τῇ γενέσει, ἐν τῷ· Καὶ γεννήσεως ποιητικόν. Φησὶ τοίνυν πρῶτον, ὅτι οὐδὲν τρέφεται μὴ μετέχον ζωῆς· πᾶν δὲ μετέχον ζωῆς ἐστὶν ἔμψυχον· οὐκοῦν πᾶν τὸ τρεφόμενον σῶμα ἔμψυχον ἐστίν. Ἡ δὲ τροφὴ δυνάμει ἐστὶ πρὸς τὸ τρεφόμενον· τρέπεται γὰρ εἰς αὐτό. Καταλείπεται τοίνυν,
f. 301v ὅτι ἡ τροφή, | καθόσον ἐστὶν ἀντικείμενον τῆς θρέψεως, ἔστι τι ἐν δυνάμει ὂν πρὸς τὸ ἔμψυχον καθαυτό, καὶ οὐ κατὰ συμβεβηκός. Δεῖ δὲ θεωρεῖν, ὅτι οὐδὲν κυρίως τρέφεται εἰ μὴ τὸ ἔμψυχον· δοκεῖ γὰρ καὶ τὸ πῦρ κατά τινα ὁμοιότητα τρέφεσθαι, ἀλλ' οὐ κυρίως τρέφεται, ὃ δῆλον ἐντεῦθεν. Τοῦτο γὰρ κυρίως τρέφεσθαι λέγομεν, ὅπερ ἐν ἑαυτῷ προσλαμβάνει τι πρὸς τὴν ἑαυτοῦ συντήρησιν· τοῦτο δὲ ἐν τῷ πυρὶ δοκεῖ μὲν συμβαίνειν, οὐ μέντοι συμβαίνει· ὅταν γὰρ ἐξαφθέντι ἤδη τῷ πυρὶ ὕλη τις καυστὴ προστεθῇ, ἐν ἐκείνῃ τῇ καυστῇ ὕλῃ νέον πῦρ γεννᾶται, οὐχ οὕτω δὲ ὥστε τοῦτο τὸ καυστὸν προστεθὲν εἰς τὴν τοῦ πυρὸς εἶναι συντήρησιν τοῦ ἐν τῇ ἄλλῃ ὕλῃ τῇ πρότερον ἀναφθείσῃ, οἷον ἄν τι ξύλον ἐκ νέου προστεθῇ, διὰ τῆς ὑστέρας ταύτης πυρώσεως οὐ φυλάττεται ἡ πύρωσις τοῦ ἄλλου ξύλου τοῦ πρότερον πυρωθέντος· ὅλον γὰρ τὸ πῦρ τὸ ἐκ τῆς συναγωγῆς τῶν πολλῶν πυρουμένων οὐκ ἔστιν ἓν ἁπλῶς, ἀλλὰ δοκεῖ εἶναι ἐν τῇ συναθροίσει, ὥσπερ ὁ τῶν λίθων σωρὸς ἐστὶν εἷς, καὶ διὰ τὴν τοιαύτην ἑνότητα ἔστιν ἐκεῖ ὁμοιότης τις θρέψεως. Ἀλλὰ τὰ ἔμψυχα σώματα ἀληθῶς τρέφονται καὶ κυρίως, διότι διὰ τῆς τροφῆς φυλάττεται ἡ ζωὴ ἐν αὐτῷ ἐκείνῳ τῷ μέρει, ὃ πρότερον ἦν, καὶ διὰ τοῦτο μόνα τὰ ἔμψυχα ἀληθῶς αὔξουσι, διότι πᾶν μέρος αὐτῶν ἀληθῶς αὔξει καὶ τρέφεται, ὅπερ οὐ συμβαίνει ἐν τοῖς ἀψύχοις πράγμασιν, ἃ δοκοῦσι διὰ προσθήκης αὐξάνεσθαι· οὐ γὰρ αὔξει τὸ πρότερον ὄν, ἀλλ' ἐκ τῆς ἄλλου προσθήκης συνίσταταί τι ἄλλο ὅλον μεῖζον. Διὰ τοῦτο δὲ ἡ ὁμοιότης τῆς αὐξήσεως καὶ τῆς τροφῆς μάλιστα φαίνεται ἐν τῷ πυρί, διότι τὸ πῦρ ἔχει πλέον ἐκ τοῦ εἴδους ἢ τὰ ἄλλα στοιχεῖα, καὶ ἔστι δραστικώτερον ἐν τῇ ποιητικῇ δυνάμει· ὅθεν διὰ τὸ τὰ ἄλλα φανερῶς μετατρέπειν εἰς ἑαυτό, δοκεῖ τρέφεσθαί τε καὶ αὔξεσθαι.

---

2 *γὰρ* après *οὕτω* add B 19 *μὲν*: *μέντοι* B

Ε.Υ.Δ της Κ.Ε.Ι ΙΩΑΝΝΙΝΑ 2006

Ἔστι δὲ ἕτερον. Ἐνταῦθα, δεύτερον, δείκνυσιν ὅπως ἡ τροφὴ ἁρμόζει τῇ αὐξήσει, καὶ φησὶν ὅτι, εἰ καὶ ταὐτόν ἐστι τῷ ὑποκειμένῳ τὸ ἀντικείμενον τῆς θρέψεως, ἡ τροφή, καὶ τὸ ἀντικείμενον τῆς αὐξήσεως, τὸ αὐξητικόν, διενήνοχε μέντοι τῷ λόγῳ, διότι εἴρηται ὅτι ἡ τροφή ἐστιν ἐν δυνάμει πρὸς τὸ ἔμψυχον σῶμα, τὸ δὲ σῶμα τὸ ἔμψυχον ἐστὶ καὶ ποσόν τι καὶ τόδε τι καὶ οὐσία. Καθὸ τοίνυν ἐστὶ ποσόν τι, κατὰ τοῦτο προσήκει αὐτῷ ἡ τροφή, ἢ καὶ αὐτὴ ποσόν ἐστι, καὶ ποιεῖ τὴν αὔξησιν, καὶ λέγεται αὐξητικόν· καθόσον δὲ τὸ ἔμψυχον σῶμα τόδε τι ἐστὶ καὶ οὐσία, οὕτως ἔχει τὸν τῆς τροφῆς λόγον· τοῦτο γάρ ἐστιν ἐκ τοῦ λόγου τῆς τροφῆς, τὸ φυλάττειν τὴν οὐσίαν τοῦ τρεφομένου, ἡ δὴ φυλακὴ ἀναγκαία ἐστὶ διὰ τὴν συνεχῆ πρόσληψιν τοῦ ὑγροῦ ὑπὸ τοῦ ἐμφύτου θερμοῦ, καὶ διὰ τοῦτο ἐπὶ τοσοῦτον διαμένει ἡ οὐσία τοῦ τρεφομένου, ἐφόσον τρέφεται.

Ταῦτα εἰπών, τρίτον, δείκνυσι καὶ ὅπως ἁρμόττει τῇ γενέσει ἡ τροφή, καὶ φησὶν ὅτι ἡ τροφὴ ἐστὶ ποιητικὴ γενέσεως· τὸ γὰρ σπέρμα, ὅπερ ἐστὶν ἀρχὴ τῆς γενέσεως περίττωμα ἐστὶ τῆς τροφῆς. Οὐ μέντοι ἡ τροφὴ ἐστὶν ἀρχὴ τῆς γενέσεως τοῦ τρεφομένου, ἀλλ' ἑτέρου τοιούτου κατὰ τὸ εἶδος, οἷον ἐστὶ τὸ τρεφόμενον, διότι ἡ τρεφομένη οὐσία ἤδη ἔστι, καὶ τὸ ὂν οὐ γεννᾶται, καὶ οὐδὲν γεννᾷ ἑαυτό, διότι τὸ γεννῶν ἤδη ἔστι, τὸ δὲ γεννώμενον οὔπω ἔστιν, ἀλλὰ δύναται ποιεῖν τι πρὸς τὴν ἑαυτοῦ σωτηρίαν.

Ὥσθ' ἡ μέν. Ἐνταῦθα ἐκ τῶν προτεθειμένων λαμβάνει τὸν ὁρισμὸν τῶν δυνάμεων τῆς φυτικῆς ψυχῆς, καὶ πρῶτον μὲν τῆς θρεπτικῆς δυνάμεως· δεύτερον, ὅλης τῆς φυτικῆς ψυχῆς, ἐν τῷ· Ἐπεὶ δὲ ἀπὸ τοῦ τέλους. Καὶ περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, ἐκ τῶν προειρημένων συμπεραίνει τὸν ὁρισμὸν τῆς θρεπτικῆς δυνάμεως· δεύτερον, δείκνυσι πῶς διαφόρως ἥ τε δύναμις τῆς ψυχῆς καὶ ἡ τροφὴ ἀρχαί εἰσι τῆς θρέψεως, ἐν τῷ· Ἐπεὶ δέ ἐστι τρία. Περὶ τοῦ πρώτου τοίνυν φησὶν ὅτι, ἐπεὶ εἴρηται ὅτι ἡ τροφή, καθόσον τοιαύτη, σῴζει τὸ τρεφόμενον, φανερόν ἐστιν ὅτι αὕτη ἡ ἀρχὴ τῆς ψυχῆς, ἥτις ἐστὶ δηλονότι ἀρχὴ τῆς θρέψεως, οὐδὲν ἕτερον ἐστὶν ἢ δύναμις σῴζειν δυναμένη τὸ δεκτικὸν ἑαυτῆς καθὸ τοιοῦτον, ἡ δὲ τροφὴ προπαρασκευαστικόν τί ἐστι τῆς ἐνεργείας τῆς τοιαύτης δυνάμεως, καθόσον ἡ τοιαύτη δύναμις, μεσιτευούσης τῆς τροφῆς,
| σῴζει τὸ ἑαυτῆς δεκτικόν, καὶ διὰ τοῦτο τὸ στερούμενον τροφῆς οὐ f. 302
δύναται σῴζεσθαι.

Ἐπεὶ δέ ἐστιν. Ἐπειδὴ εἶπεν ὅτι ἀρχὴ τῆς θρέψεως ἐστὶν ἡ δύναμις τῆς ψυχῆς, ἧς καὶ ἡ τροφή ἐστιν ἀρχή, ὡς ἐκ τῶν εἰρημένων φανερόν, διὰ τοῦτο ἐνταῦθα, δεύτερον, δείκνυσι πῶς διαφόρως ἡ δύναμις τῆς ψυχῆς καὶ ἡ τροφὴ εἰσὶν ἀρχαὶ τῆς θρέψεως. Φησὶ τοίνυν, ὅτι ἐν

8 *καθὸ* B 10 *δὴ* om B 14 *ἁρμόζει* B



Ε.Υ.Δ της Κ.Η ΙΩΑΝΝΙΝΑ 2006

τῇ θρέψει εἰσὶ τρία· τὸ τρεφόμενον, ᾧ τρέφεται καὶ τὸ τρέφον. Τὸ μὲν δὴ τρέφον πρῶτον ἐστὶν αὐτὴ ἡ ψυχή, δηλονότι ἡ φυτικὴ ψυχή· τὸ δὲ τρεφόμενον ἐστὶ τὸ σῶμα, τὸ ἔχον ταύτην τὴν ψυχήν· ᾧ δὲ τρέφεται ἐστὶν ἡ τροφή. Οὕτω τοίνυν ἡ δύναμις τῆς ψυχῆς ἐστὶν ἡ ἀρχὴ τῆς θρέψεως ὡς τὸ ἀρχοειδὲς ποιοῦν, ἡ δὲ τροφὴ ὡς τὸ ὄργανον.

Ἐπεὶ δὲ ἀπὸ τοῦ. Ἐνταῦθα ὁρίζεται τὴν πρώτην ψυχήν, ἥτις ἐστὶν ἡ φυτικὴ ψυχή, ἐν μὲν τοῖς φυτοῖς οὖσα ψυχή, ἐν δὲ τοῖς ζῴοις μέρος ψυχῆς. Καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, ὁρίζεται τὴν τοιαύτην ψυχήν· οὗ δὴ ὁρισμοῦ πρὸς κατανόησιν, εἰδέναι δεῖ ὅτι ἐν ταῖς τρισὶν ἐνεργείαις τῆς φυτικῆς ψυχῆς ἔστι τις τάξις· πρώτη γὰρ ἐνέργεια ἐστὶν ἡ θρέψις, δι' ἧς φυλάττεταί τι ἐν τῷ εἶναι· δευτέρα δὲ καὶ τελειωτέρα ἐστὶν ἡ αὐξητική, δι' ἧς ἐπιδίδωσί τι πρὸς μείζω τελειότητα καὶ κατὰ ποσότητα καὶ κατὰ δύναμιν· τρίτη δὲ τελειοτάτη καὶ τελευταία ἐστὶν ἡ γένεσις, δι' ἧς τι ὡσανεὶ ἤδη τέλειον ἐν ἑαυτῷ γεγονὸς ἑτέρῳ τοῦ εἶναι καὶ τῆς τελειότητος μεταδίδωσιν. Τότε γὰρ ἕκαστον μάλιστα τέλεον λέγεται καὶ ἔστιν, ὡς ἐν τῷ τετάρτῳ τῶν μετὰ τὰ φυσικὰ λέγεται, ὅταν δύνηται ποιεῖν ἄλλο τοιοῦτον, οἷον αὐτό ἐστιν. Διότι τοίνυν δίκαιόν ἐστι πάντα ὁρίζεσθαι καὶ παρονομάζεσθαι ἀπὸ τοῦ τέλους, τὸ δὲ τέλος τῶν ἐνεργειῶν τῆς φυτικῆς ψυχῆς τὸ γεννᾶν ἄλλο, οἷον ἐστὶν αὐτό, ἕπεται τοῦτον εἶναι προσήκοντα ὁρισμὸν τῆς πρώτης ψυχῆς, δηλονότι τῆς φυτικῆς, τὸ γεννητικὴν εἶναι, δηλονότι ἑτέρου ὁμοίου κατὰ τὸ εἶδος, καὶ διότι εἶπε τὴν τροφὴν ὄργανον εἶναι ταύτης τῆς ψυχῆς, ἵνα μὴ νομισθῇ μὴ ἔχειν ἕτερον ὄργανον, διὰ τοῦτο ἐν τῷ· Ἔστι δὲ ᾧ τρέφει διττόν, δείκνυσιν ὅτι ἔχει ἄλλο ὄργανον, καὶ φησὶν ὅτι διπλοῦν ἐστι τὸ ὄργανον ᾧ τρέφεται, ὥσπερ ἐστὶ διπλοῦν τὸ ὄργανον τῆς κυβερνήσεως· ὁ γὰρ κυβερνήτης κυβερνᾷ καὶ τῇ χειρὶ καὶ τῷ πηδαλίῳ· ἡ γὰρ χεὶρ ὄργανον συνημμένον, οὗ εἶδος ἐστὶν ἡ ψυχή, τὸ δὲ πηδάλιον ἐστὶν ὄργανον κεχωρισμένον, οὗπερ εἶδος οὐκ ἔστιν ἡ ψυχή. Ὅθεν τὸ πηδάλιον ἐστὶν ὄργανον κινοῦν τὴν ναῦν κατὰ τὴν κίνησιν τὴν ἀπὸ τῆς χειρός, ἀλλ' ἡ χεὶρ οὐκ ἔστιν ὄργανον κινούμενον ἐξωτερικῷ τινί, ἀλλ' ὑπὸ τῆς ἐνδοτέρας μόνον ἀρχῆς· ἔστι γὰρ μέρος τοῦ ἀνθρώπου τοῦ κινοῦντος ἑαυτόν. Οὕτω τοίνυν καὶ τῆς θρέψεως ὄργανον, ὡς μὲν κεχωρισμένον καὶ οὗτινος εἶδος οὔπω ἐστὶν ἡ ψυχή, ἔστιν ἡ τροφή· δεῖ δὲ εἶναι ἄλλο ὄργανον τῆς θρέψεως συνεζευγμένον. Ἀνάγκη γάρ ἐστι τὴν τροφὴν πέττεσθαι· τὸ δὲ τὴν πέψιν ποιοῦν ἔστι τι θερμόν. Ὥσπερ δὲ ὁ κυβερνήτης κινεῖ τὸ πηδάλιον τῇ χειρί, τὴν δὲ ναῦν τῷ πηδαλίῳ, οὕτω καὶ ἡ ψυχὴ κινεῖ τῷ θερμῷ τὴν τροφήν, τῇ δὲ τροφῇ τρέφει. Οὕτω τοίνυν θερμόν τί ἐστιν ὄργανον συνεζευγμένον ταύτῃ τῇ ψυχῇ, ἐν ᾧ δηλονότι σπερματικῶς ἐστὶν ἡ φυσικὴ θέρμη ἡ πέττουσα.

14 ἤδη om B

Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ διὰ τοῦτο δεῖ πᾶν ἔμψυχον τρεφόμενον θερμότητα ἔχειν φυσικήν, ἥτις ἐστὶν ἀρχὴ πέψεως. Εἰ δὲ ἡ ψυχὴ οὐκ εἶχεν ὄργανον συνεζευγμένον, οὐκ ἂν ἦν ἐντελέχεια τινὸς μέρους τοῦ σώματος, ὅπερ μόνῳ τῷ νῷ ἁρμόζει. Τελευταῖον, ἐπιλέγων συμπεραίνει ὅτι τυπικῶς, τουτέστι καθόλου, εἴρηται τί ἐστιν ἡ τροφή, ἀλλ' ὕστερον σαφέστερον ἐστὶ πραγματευτέον περὶ αὐτῆς ἐν τοῖς ἰδίοις λόγοις. Ἐποίησε γὰρ εἰδικὴν πραγματείαν περὶ τροφῆς, ὡς καὶ περὶ γενέσεως ζῴων, καὶ περὶ κινήσεως ζῴων.

## Leçon X.

Διωρισμένων δὲ τούτων. Διορισάμενος ὁ Φιλόσοφος περὶ τοῦ φυτικοῦ μέρους, ἐνταῦθα ἄρχεται διορίζεσθαι περὶ τοῦ αἰσθητικοῦ μέρους, καὶ πρῶτον διορίζεται περὶ τοῦ φαινομένου ἐν τούτῳ τῷ μέρει, δηλονότι περὶ τῶν ἐξωτερικῶν αἰσθήσεων· δεύτερον, περὶ τοῦ λανθάνοντος καὶ ἀφανοῦς ἐν τῷ αἰσθητικῷ μέρει, ἐν τῷ· Ὅτι δὲ οὐκ. Περὶ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, δείκνυσι πῶς ἔχει ἡ αἴσθησις πρὸς τὸ αἰσθητόν· δεύτερον, διορίζεται περὶ τοῦ αἰσθητοῦ καὶ τῆς αἰσθήσεως, ἐν τῷ· Ῥητέον δέ. Περὶ τὸ πρῶτον αὖθις | δύο ποιεῖ· πρῶτον, ἐπαναλαμβάνει τινὰ f. 302ᵛ
τῶν πρότερον εἰρημένων· δεύτερον, ἀνιχνεύει τὸ προκείμενον, ἐν τῷ· Ἔχει δὲ ἀπορίαν.

Λέγει τοίνυν, πρῶτον, ὅτι διωρισμένων τῶν ἀνηκόντων τῷ φυτικῷ μέρει, ῥητέον ἐστὶ περὶ τῶν εἰς τὴν αἴσθησιν ἀνηκόντων κοινῇ. Περὶ δὲ τῶν ἀνηκόντων ἑκάστῃ αἰσθήσει εἰδικῶς μετὰ ταῦτα ἐρεῖ. Δύο δὲ ἐπαναλαμβάνει εἰρημένα περὶ αἰσθήσεως, ὧν τὸ ἓν ἐστιν, ὅτι τὸ αἰσθάνεσθαι συνίσταται ἐν τῷ κινεῖσθαι καὶ πάσχειν· ἡ γὰρ ἐνεργείᾳ αἴσθησις ἀλλοίωσίς τίς ἐστιν· τὸ δὲ ἀλλοιούμενον πάσχει καὶ κινεῖται· ἄλλο δέ, ὅτι τινὲς εἶπον τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου πάσχειν, καὶ διὰ τοῦτο, ἐπεὶ τὸ αἰσθάνεσθαι πάσχειν τί ἐστιν, οἱ ἀρχαῖοι φιλόσοφοι εἶπον ὅτι τὸ ὅμοιον τῷ ὁμοίῳ γινώσκεται καὶ αἰσθάνεται, ὥσπερ Ἐμπεδοκλῆς λέγων τὴν γῆν τῇ γῇ γινώσκεσθαι, καὶ τὸ πῦρ τῷ πυρί, καὶ περὶ τῶν ἄλλων οὕτως. Ἀλλὰ τοῦτο, πῶς δυνατὸν εἶναι, ἢ μή, τὸ πάσχειν τὸ ὅμοιον τῷ ὁμοίῳ, εἴρηται ἐν τοῖς καθόλου λόγοις περὶ τοῦ ποιεῖν καὶ πάσχειν, ἤγουν ἐν τοῖς περὶ γενέσεως καὶ φθορᾶς, ὅπου διωρίσατο περὶ τῆς ἐνεργείας καὶ τοῦ πάθους κοινῇ. Εἴρηται γὰρ ἐκεῖ, ὅτι τὸ πάσχον ἀπ' ἀρχῆς μὲν ἐν τῷ πάσχειν ἐναντίον ἐστὶ τῷ ποιοῦντι, ἀλλ' ἐν τῷ τέλει, ὅταν ἤδη πεπονθὸς ᾖ, ἔστιν ὅμοιον· τὸ γὰρ ποιοῦν ἅπαν ἐν τῷ ποιεῖν ἐξομοιοῖ ἑαυτῷ τὸ πάσχον.

Ἔχει δ' ἀπορίαν. Ἐνταῦθα διορίζεται τὴν ἀλήθειαν περὶ τὸ προκείμενον, καὶ πρῶτον δείκνυσιν, ὅτι ἡ αἴσθησίς ἐστι δυνάμει· δεύτερον,

---

14 *καὶ* avant *περὶ* add B  15 *πάλιν* avant *δύο* add B  *μὲν γὰρ* avant *δείκνυσιν* add B  29 *καὶ* avant *τὸ πῦρ* om B  *οὕτως*: *ὁμοίως* B

Ε.Υ.Δ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὅτι ποτὲ ἐστὶν ἐνεργείᾳ, ἐν τῷ· ἐπεὶ δὲ τὸ αἰσθάνεσθαι· τρίτον, δείκνυσι πῶς ἡ αἴσθησις ἀνάγεται ἐκ τῆς δυνάμεως εἰς τὴν ἐνέργειαν, ἐν τῷ· Διαιρετέον δέ. Περὶ τὸ πρῶτον δεῖ θεωρεῖν, ὅτι Ἐμπεδοκλῆς τε καὶ οἵτινες ἔθεντο τὸ ὅμοιον τῷ ὁμοίῳ γινώσκεσθαι, ἐτίθεντο τὴν αἴσθησιν εἶναι ἐνεργείᾳ αὐτὰ τὰ αἰσθητά. Ὡς ἂν γινώσκοι πάντα τὰ αἰσθητά, ἐδόξασαν τὴν αἰσθητικὴν ψυχὴν συντεθεῖσθαι τρόπον τινὰ ἐκ πάντων τῶν αἰσθητῶν, καθόσον συνέστηκε κατ' αὐτοὺς ἐκ τῶν στοιχείων τῶν αἰσθητῶν. Δύο τοίνυν πρὸς ταύτην τὴν θέσιν ἠκολούθουν, ὧν ἓν μὲν ἐστὶν τὸ τὴν αἴσθησιν εἶναι αὐτὰ τὰ αἰσθητὰ ἐνεργείᾳ ὡς συντεθειμένην ἐξ αὐτῶν, καὶ ἐπεὶ τῶν ἐνεργείᾳ αἰσθητῶν δυνατὸν εἶναι αἴσθησιν, καὶ αὐτῶν τῶν αἰσθήσεων εἶναι αἴσθησιν ἀκολουθήσει. Δεύτερον δέ ἐστιν, ὅτι ἐπεὶ ἡ αἴσθησις δύναται αἰσθάνεσθαι, παρόντων τῶν αἰσθητῶν, εἰ τὰ αἰσθητὰ ἐνεργείᾳ εἰσὶν ἐν τῇ αἰσθήσει ὡς ἐξ αὐτῶν συντεθειμένῃ, ἕψεται τὴν αἴσθησιν δύνασθαι αἰσθάνεσθαι ἄνευ τῶν ἔξωθεν αἰσθητῶν· ἑκάτερον δὲ τούτων ψεῦδος ἐστί, καὶ διὰ τοῦτο ταῦτα τὰ δύο ἄτοπα τὰ ἑπόμενα πρὸς τὴν τῶν ἀρχαίων θέσιν ὑπὸ ζητήσει προτίθησιν, ὡς παρὰ τῶν ἀρχαίων δήπου λύεσθαι μὴ δυνάμενα. Τοῦτο τοίνυν ἐστὶν ὅ φησιν, ὅτι ἀπορίαν δὲ ἔχει διὰ τί καὶ τῶν αἰσθήσεων αὐτῶν οὐ γίνεται αἴσθησις, τουτέστι διατί καὶ αὐταὶ αἱ αἰσθήσεις οὐχ ὑποπίπτουσι τῇ ἰδίᾳ αἰσθητικῇ ἀντιλήψει· τοῦτο γὰρ δοκεῖ ἕπεσθαι τῷ τὰς αἰσθήσεις ὁμοίας εἶναι τοῖς αἰσθητοῖς. Πάλιν ἔχει ἀπορίαν διατί οὐ ποιοῦσιν αἴσθησιν, τουτέστι διατί αἱ αἰσθήσεις οὐκ αἰσθάνονται ἐνεργείᾳ χωρὶς τῶν ἔξω, ἤγουν χωρὶς τῶν ἔξωθεν αἰσθητῶν, ἐπεὶ ταῦτα τὰ ἔξω ἐν αὐταῖς εἰσὶ ταῖς αἰσθήσεσι κατὰ τὴν δόξαν τῶν ἀρχαίων, τὸ πῦρ καὶ ἡ γῆ καὶ τὰ ἄλλα στοιχεῖα αἰσθητὰ ὄντα, ὧν ἐστιν ἡ αἴσθησις· ἢ καθ' αὑτά, τουτέστι κατὰ τὴν οὐσίαν αὐτῶν, κατ' ἐκείνους οἵτινες οὐ διαιροῦσι μεταξὺ νοῦ καὶ αἰσθήσεως. Ὁ γὰρ νοῦς ἐστὶ κυρίως γνωστικὸς τῆς οὐσίας· ἢ κατὰ τὰ ἴδια συμβεβηκότα αὐτῶν, δηλονότι τὸ θερμόν, τὸ ψυχρὸν καὶ τὰ τοιαῦτα, ἅπερ εἰσὶ καθ' αὑτὰ αἰσθητά. Ἐπεὶ τοίνυν αὗται αἱ ἀπορίαι λύεσθαι οὐ δύνανται, εἴπερ ἡ αἴσθησις ἔχει τὰ αἰσθητὰ ἐνεργείᾳ, ὡς ἔθεντο οἱ ἀρχαῖοι, συμπεραίνει ὡς φανερόν, ὅτι ἡ ψυχὴ ἡ αἰσθητικὴ οὐκ ἔστιν ἐνεργείᾳ αὐτὰ τὰ αἰσθητά, ἀλλὰ δυνάμει μόνον. Καὶ διὰ τοῦτο αἱ αἰσθήσεις οὐκ αἰσθάνεσθαι δύνανται ἄνευ τῶν ἔξω αἰσθητῶν, ὥσπερ τὸ καυστόν, ὅπερ ἐστὶ δυνάμει μόνον πεπυρωμένον, οὐ καίεται ἀφ' ἑαυτοῦ χωρὶς τοῦ ἔξωθεν καυστικοῦ. Εἰ γὰρ ἦν ἐνεργείᾳ πεπυρωμένον, ἔκαιεν ἂν ἑαυτό, καὶ οὐκ ἂν ἐδεῖτο τοῦ ἐξωτερικοῦ πυρὸς ὥστε καίεσθαι.

Ἐπειδὴ δέ. Ἐνταῦθα δείκνυσιν ὅτι ἡ αἴσθησις ποτέ ἐστιν ἐνερ-
f. 303 γείᾳ· | καὶ περὶ τοῦτο τὸ μέρος αὖθις τρία ποιεῖ· πρῶτον, δείκνυσι τὴν

---

8 *δύο*: *δεύτεροι* B 38 *αὖθις* om B

ΙΩΑΝΝΙΝΑ 2006

αἴσθησιν ἔστιν ὅτε εἶναι ἐνεργείᾳ· δεύτερον, φανεροῖ πῶς δεῖ νοεῖν τὸ εἰρημένον, ἐν τῷ· Πρῶτον μὲν οὖν· τρίτον, δείκνυσι κατὰ τὰ προειρημένα πῶς ἡ τῶν ἀρχαίων θέσις δύναται εἶναι ἀληθής, δηλονότι ὅτι τὸ ὅμοιον τῷ ὁμοίῳ αἰσθάνεται, ἐν τῷ· Πάντα δὲ πάσχει. Πρῶτον τοίνυν δείκνυσι τὴν αἴσθησιν ποτὲ εἶναι ἐνεργείᾳ· ποτὲ μὲν γὰρ λέγομεν τινὰ ὁρᾶν καὶ ἀκούειν τὸν δυνάμει ἀκούοντα καὶ ὁρῶντα, οἷον ἄν τις τύχοι καθεύδων· ποτὲ δὲ αὖθις λέγομεν τινὰ ὁρᾶν καὶ ἀκούειν ἐν αὐτῇ ὄντα τῇ ἐνεργείᾳ τοῦ ὁρᾶν καὶ ἀκούειν· ἐξ οὗ φαίνεται ὅτι κατὰ τὸν αὐτὸν λόγον καὶ ἡ αἴσθησίς τε καὶ τὸ αἰσθάνεσθαι διχῶς λέγεται, δηλονότι ἐνεργείᾳ καὶ δυνάμει.

Πρῶτον μὲν οὖν. Ἐνταῦθα, δεύτερον, φανεροῖ πῶς δεῖ νοεῖν τὸ εἰρημένον· ἐδόκει γὰρ μάχεσθαι τὸ εἰρημένον περὶ τοῦ αἰσθάνεσθαι, ὅτι ἔστι ποτὲ ἐνεργείᾳ τῷ λέγειν, ὅτι τὸ αἰσθάνεσθαι πάσχειν τί ἐστι καὶ κινεῖσθαι· τὸ γὰρ εἶναι ἐνεργείᾳ δοκεῖ μᾶλλον ἀνήκειν τῷ ποιεῖν, καὶ διὰ τοῦτο τοῦτο σαφηνίζων, φησὶν ὅτι οὕτω λέγομεν αἰσθάνεσθαι ἐνεργείᾳ, ὥσπερ ἂν λέγωμεν, ὅτι τὸ πάσχειν καὶ κινεῖσθαι ἐστὶ ποιεῖν τι, ἤγουν τι εἶναι ἐνεργείᾳ· ἡ γὰρ κίνησίς ἐστιν ἐνέργειά τις, ἀλλ' ἀτελής, ὡς εἴρηται ἐν τῷ τρίτῳ τῶν φυσικῶν· ἔστι γὰρ ἐνέργεια τοῦ δυνάμει ὄντος, τουτέστι τοῦ κινητοῦ. Ὥσπερ τοίνυν ἡ κίνησις ἐστὶν ἐνέργεια, οὕτω τὸ κινεῖν καὶ αἰσθάνεσθαι ἔστι τι ποιεῖν ἢ εἶναι ἐνεργείᾳ· λέγων δὲ πρῶτον, δηλοῖ ὅτι καὶ ἄλλα τινὰ ὕστερον ἐπάγειν μέλλει πρὸς τὸ δεῖξαι πῶς ἡ αἴσθησις ἐστὶ ἐνεργείᾳ.

Πάντα δὲ πάσχει. Ἐνταῦθα, τρίτον, δείκνυσι πῶς ἡ τῶν ἀρχαίων θέσις δύναται ἀληθεύεσθαι, ὅτι δηλονότι τὸ ὅμοιον τῷ ὁμοίῳ αἰσθητικῶς γινώσκεται. Φησὶ τοίνυν, ὅτι πάντα τὰ ἐν δυνάμει πάσχουσι καὶ κινοῦνται ὑπὸ τοῦ ποιητικοῦ καὶ ἐνεργείᾳ ὄντος, ὃ δηλονότι, ποιοῦν εἶναι ἐνεργείᾳ τὰ πάσχοντα, ἐξομοιοῖ αὐτὰ ἑαυτῷ· ὅθεν τρόπῳ τινὶ πάσχει τι ὑπὸ τοῦ ὁμοίου, καὶ τρόπῳ τινὶ ὑπὸ τοῦ ἀνομοίου, ὡς εἴρηται, διότι ἀπ' ἀρχῆς, ἕως ἂν ᾖ ἐν τῷ μεταβάλλεσθαι καὶ πάσχειν, ἔστιν ἀνόμοιον· ἐν δὲ τῷ τέλει, ὅταν ᾖ ἐν τῷ μεταβληθὲν εἶναι καὶ πεπονθός, ἔστιν ὅμοιον. Οὕτω τοίνυν καὶ ἡ αἴσθησις, μετὰ τὸ γενέσθαι ἐνεργείᾳ ὑπὸ τῶν αἰσθητῶν, ἔστιν ὁμοία αὐτοῖς, ἀλλὰ πρότερον οὐκ ἔστιν ὁμοία, ὅπερ οἱ ἀρχαῖοι μὴ διακρίνοντες ἐπλανήθησαν.

## Leçon XI.

Διαιρετέον δέ. Δείξας τὴν αἴσθησιν εἶναι δυνάμει καὶ ἐνεργείᾳ, νῦν βούλεται δεῖξαι πῶς ἐξάγεται ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ· καὶ

---

2 τὰ om B  16 ἔστι après ἤγουν add B  19 τουτέστι: ἤτοι B  20 τι om B
22 ἐστὶ: γίνεται B

Ε.Υ. Σ... Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

πρῶτον δείκνυσι πῶς διαφόροις τρόποις ἔξεισί τι πρὸς ἐνέργειαν ἐκ δυνάμεως, χρώμενος παραδείγματι ἐπὶ τοῦ νοῦ. Ἐν δὲ τῷ δευτέρῳ μέρει, δείκνυσι τὸ προκείμενον περὶ τὴν αἴσθησιν, ἐν τῷ· Τοῦ δὲ αἰσθητικοῦ ἡ μὲν πρώτη. Περὶ τὸ πρῶτον αὖθις τρία ποιεῖ· πρῶτον, λέγει περὶ οὗ ἐστιν ὁ σκοπός· δεύτερον, διακρίνει τὴν δύναμιν καὶ τὴν ἐνέργειαν περὶ τὸν νοῦν, ἐν τῷ· Ἔστι μὲν γάρ· τρίτον, δείκνυσι πῶς ἐξάγεταί τι πρὸς ἐνέργειαν ἐκ δυνάμεως, ἐν τῷ· Ἀμφότεροι μὲν οὖν. Φησὶ τοίνυν, ὅτι πρῶτον διαιρετέον ἐστὶ περὶ δυνάμεως καὶ ἐντελεχείας, τουτέστι δεικτέον ποσαχῶς τι λέγεται δυνάμει, καὶ ποσαχῶς ἐνεργείᾳ· ὅπερ ἀναγκαῖον ἦν, διότι ἐν τοῖς ἀνωτέρω μικρὸν εἰρημένοις ἄνευ διαστολῆς ἐχρήσατο τῇ δυνάμει καὶ τῇ ἐνεργείᾳ. Τοῦτο εἰπὼν διακρίνει τὴν δύναμιν καὶ τὴν ἐνέργειαν περὶ τὸν νοῦν, καὶ φησὶν ὅτι ἕνα μὲν τρόπον λέγεταί τι [ἐν δυνάμει], ὡς ὁ ἄνθρωπος ἐπιστήμων, διότι ἔχει φυσικὴν δύναμιν πρὸς τὸ ἐπίστασθαι, ὥσπερ λέγεται ὁ ἄνθρωπος εἶναι ἐκ τοῦ ἀριθμοῦ τῶν ἐπισταμένων καὶ ἐχόντων ἐπιστήμην, καθόσον ἔχει φύσιν πρὸς τὸ ἐπίστασθαι καὶ πρὸς τὸ ἔχειν τὴν ἕξιν τῆς ἐπιστήμης· δεύτερον τρόπον λέγεταί τι, ὅπερ ἐπίσταται ἔνια, ὥσπερ φαμὲν τὸν ἔχοντα ἕξιν τινὸς ἐπιστήμης, φέρε εἰπεῖν τῆς γραμματικῆς, εἶναι ἤδη ἐπιστήμονα. Φανερὸν γοῦν, ὅτι ἑκάτερος αὐτῶν λέγεται ἐπιστήμων ἐκ τοῦ δύνασθαί τι, ἀλλ' οὐ τὸν αὐτὸν ἑκάτερος τρόπον ἔχει δύναμιν πρὸς τὸ ἐπίστασθαι, ἀλλ' ὁ μὲν πρῶτος δυνατὸς λέγεται, διότι ἔχει τὴν ὑλικὴν δύναμιν τοῦ ἐπίστασθαι δι' ἧς τάττεται ἐν τῷ τοιούτῳ γένει, καὶ ἥτις ἐστὶν ἐν δυνάμει πρὸς τὴν ἐπιστήμην ὡς ὕλη πρὸς εἶδος· ὁ δεύτερος δὲ ὁ ἔχων τὴν ἕξιν τῆς ἐπιστήμης λέγεται δυνατός, διότι βουλόμενος καὶ δύναται θεωρεῖν, εἰ μή τι ἔξωθεν κατὰ συμβεβηκὸς ἐμποδίζει, οἷον ἢ περισπασμὸς ἐξωτερικός, ἤ τις ἐναντία διάθεσις ἐκ τοῦ μέρους τοῦ σώματος. Τρίτος δὲ ὁ ἤδη θεωρῶν ἐστιν ἐνεργείᾳ, καὶ οὗτος ἐστὶν ὁ κυρίως καὶ τελείως εἰδὼς τινὰ καὶ ἐπιστάμενος κατά τινα τέχνην
f. 303v οἱανοῦν, οἷον τοῦτο τὸ γράμμα τὸ ἄλφα, | ὅπερ ἀνήκει πρὸς τὴν γραμματικήν, περὶ ἧς ἀνωτέρω μνήμην ἐποιήσατο. Τούτων τοίνυν τῶν τριῶν ὁ ἔσχατος ἐστὶν ἐνεργείᾳ μόνον, ὁ πρῶτος ἐν δυνάμει μόνον, ὁ δὲ δεύτερος ἐνεργείᾳ μὲν πρὸς τὸν πρῶτον, ἐν δυνάμει δὲ πρὸς τὸν τρίτον. Ὅθεν φανερόν ἐστιν, ὅτι τὸ εἶναι ἐν δυνάμει διχῶς λέγεται, δηλονότι περὶ τοῦ πρώτου καὶ τοῦ δευτέρου· καὶ τὸ εἶναι ἐνεργείᾳ διχῶς λέγεται, δηλονότι περὶ τοῦ δευτέρου καὶ τοῦ τρίτου.

Ἀμφότεροι μὲν οὖν. Ἐνταῦθα δείκνυσι πῶς ἀφ' ἑκατέρας δυνάμεως ἀνάγεταί τι εἰς ἐνέργειαν· καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, δείκνυσιν ὅπως ἀφ' ἑκατέρας δυνάμεως ἀνάγεταί τι εἰς ἐνέργειαν· δεύτερον, δείκνυσι πῶς ἡ τοιαύτη ἀναγωγή ἐστι κατά τι πάθος, ἐν τῷ· Οὐκ

1 *τι*: *τις* B 38 *πῶς*: *πότερον* B

Ε.Υ.Δ τηςΚ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἔστι δὲ ἁπλῶς. Φησὶ τοίνυν, πρῶτον, ὅτι, ἐπεὶ ἄμφω οἱ πρῶτοι εἰσὶν ἐπιστήμονες κατὰ δύναμιν, καὶ τὸ ἐν δυνάμει ἀνάγεσθαι δεῖ εἰς ἐνέργειαν, ἄλλον τρόπον ἀνάγεταί τις εἰς ἐνέργειαν ἐκ τῆς πρώτης δυνάμεως, καὶ ἄλλως ἐκ τῆς δευτέρας. Ὁ μὲν γὰρ δυνάμει ὢν κατὰ τὸν πρότερον τρόπον ἀνάγεται εἰς ἐνέργειαν, ὥσπερ ἀλλοιωθεὶς διὰ μαθήσεως καὶ κινηθεὶς ὑπό τινος ἐνεργείᾳ ὄντος, ὥσπερ ὑπὸ τοῦ διδασκάλου· καὶ πολλάκις ἡ τοιαύτη μεταβολὴ ἐστὶν ἐκ τῆς ἐναντίας ἕξεως, ὃ διὰ τοῦτο φησί, διότι ἐπεὶ ἀνάγεσθαί τις δύναται ἐκ τῆς πρώτης δυνάμεως εἰς τὴν ἐνέργειαν καὶ ἐξ ἀνεπιστήμονος γίνεσθαι ἐπιστήμων, ὁ δὲ ἀγνοῶν λέγεται διχῶς· ἕνα μὲν τρόπον, κατὰ ἁπλῆν ἀπόφασιν, ὅταν μήτε τὴν ἀλήθειαν γινώσκῃ, μήτ' αὐτῇ πλάνῃ διεφθαρμένος ᾖ, καὶ οὕτως ἀγνοῶν γίνεται ἐνεργείᾳ ἐπιστήμων οὐχ ὥσπερ μεταβληθεὶς ἐκ τῆς ἐναντίας ἕξεως, ἀλλὰ μόνον ὡς προσλαμβάνων τὴν ἐπιστήμην. Ἄλλον δὲ τρόπον λέγεταί τις ἀνεπιστήμων ἢ ἀγνοῶν κατά τινα σκολιὰν διάθεσιν διὰ τὸ τῇ πλάνῃ κατέχεσθαι τῇ ἐναντίᾳ τῆς ἀληθείας, καὶ οὗτος εἰς τὴν ἐνέργειαν τῆς ἐπιστήμης ἀνάγεται ὡσανεὶ ἐκ τῆς ἐναντίας ἕξεως μεταβληθείς. Ὁ δὲ ἐν δυνάμει κατὰ τὸν δεύτερον τρόπον, ὡς ὁ ἤδη ἔχων τὴν ἕξιν δηλονότι, μεταβαίνει ἐκ τοῦ ἔχειν τὴν αἴσθησιν ἢ τὴν ἐπιστήμην καὶ μὴ ἐνεργεῖν κατ' αὐτὰς εἰς τὸ ἐνεργεῖν, διότι δηλονότι γίνεται ἐνεργῶν κατὰ τὴν ἐπιστήμην. Ἀλλ' ἕτερον τρόπον οὗτος γίνεται ἐνεργείᾳ, καὶ ἕτερον ὁ πρῶτος.

Οὐκ ἔστι δὲ ἁπλοῦν. Ἐνταῦθα, δεύτερον, φανεροῖ εἰ ἄρα καθό τι ἔξεισιν εἰς ἐνέργειαν ἐκ δυνάμεως ἢ κατὰ τὸν πρῶτον, ἢ κατὰ τὸν δεύτερον τρόπον, δύναιτο λέγεσθαι πάσχειν αὐτό, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, δείκνυσι ποσαχῶς λέγεται τὸ πάσχειν· δεύτερον, φανεροῖ τὸ προκείμενον, ἐν τῷ· Θεωροῦν γάρ. Φησὶ τοίνυν, πρῶτον, ὅτι ὥσπερ ἡ δύναμις καὶ ἡ ἐνέργεια οὐ λέγονται ἁπλῶς, ἀλλὰ πολλαχῶς, οὕτω καὶ τὸ πάσχειν οὐχ ἑνὶ τρόπῳ, ἀλλὰ πολλοῖς λέγεται· λέγεται γὰρ ἕνα μὲν τρόπον κατά τινα φθορὰν γινομένην ὑπὸ τοῦ ἐναντίου· τὸ γὰρ πάθος κυρίως λεγόμενον δοκεῖ ἐπιφέρειν βλάβην τινὰ τοῦ πάσχοντος, καθόσον νικᾶται ὑπὸ τοῦ ποιοῦντος· ἡ δὲ βλάβη τῷ πάσχοντι συμβαίνει, καθό τι ἀποβάλλει τῶν ἐν αὐτῷ τὸ πάσχον, ἥτις ἀποβολή ἐστι φθορὰ ἢ ἁπλῶς, ὅταν ἀποβάλλῃ τὸ οὐσιῶδες εἶδος, ἢ πῃ, ὅταν ἀποβάλλῃ εἶδος κατὰ συμβεβηκός. Ἡ δὲ τοιαύτη τοῦ εἴδους ἀποβολὴ γίνεται ὑπὸ τοῦ ἐναντίου ποιοῦντος· ἀποβάλλεται γὰρ τὸ εἶδος ἐκ τῆς ὕλης ἢ τοῦ ὑποκειμένου δι' ἐπεισαγωγὴν τοῦ ἐναντίου εἴδους, ὅπερ ἐστὶν ἐκ τοῦ ἐναντίου ποιοῦντος. Πρῶτον οὖν τρόπον λέγεται πάθος κυρίως, καθὸ τις φθορὰ γίνεται ὑπὸ τοῦ ἐναντίου· ἄλλον δὲ τρόπον λέγεται τὸ πάθος κοινότερον καὶ ἧττον κυρίως, καθὸ δηλονότι ἐπιφέρει τινὰ ὑποδοχὴν καὶ πρόσληψιν, καὶ διότι

---

11 *ὁ ἀγνοῶν* B 27 *πολλοῖς: πολλαχῶς* B

Ε.Υ.Δ τμ. Κ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

τὸ δεκτικὸν ἕτερον παραβάλλεται πρὸς αὐτὸ ὡς δύναμις πρὸς ἐνέργειαν. ἡ δὲ ἐνέργεια ἐστὶ τελείωσις τῆς δυνάμεως, διὰ τοῦτο λέγεται πάθος τούτῳ τῷ τρόπῳ, οὐ καθὸ γίνεται φθορά τις τοῦ πάσχοντος, ἀλλὰ μᾶλλον καθὸ γίνεται σωτηρία τις καὶ τελείωσις τοῦ ὄντος ἐν δυνάμει ὑπὸ τοῦ ἐνεργείᾳ ὄντος· τὸ γὰρ ἐν δυνάμει ὂν οὐ τελειοῦται εἰ μὴ ὑπὸ τοῦ ἐνεργείᾳ ὄντος· τὸ δὲ ἐνεργείᾳ ὂν οὐκ ἔστιν ἐναντίον τῷ ἐν δυνάμει ὄντι, ἀλλὰ μᾶλλον ὅμοιον. Εἰ δὲ ἡ δύναμις οὐδὲν ἄλλο ἐστὶν ἢ τάξις τις πρὸς τὴν ἐνέργειαν, εἰ μή τις ἦν ὁμοιότης μεταξὺ τῆς δυνάμεως καὶ τῆς ἐνεργείας, οὐκ ἂν ἦν ἀναγκαῖον τὸ τὴν ἰδίαν ἐνέργειαν γίνεσθαι ἐν ἰδίᾳ δυνάμει. Ἡ δύναμις τοίνυν οὕτω λεγομένη οὐκ ἔστιν ὑπὸ τοῦ ἐναντίου ὡς ἡ πρότερον εἰρημένη, ἀλλ' ἔστιν ὑπὸ τοῦ ὁμοίου, ὃν τρόπον ἡ δύναμις ἔχει κατὰ τὴν πρὸς τὴν ἐνέργειαν ὁμοιότητα.

Θεωροῦν γὰρ γίνεται. Ἐνταῦθα, δεύτερον, δηλοποιεῖ εἰ ἄρα τὸ ἐξιὸν ἐκ δυνάμεως εἰς τὴν ἐνέργειαν τῆς ἐπιστήμης πάσχει· καὶ πρῶτον f. 304 φανεροῖ τοῦτο περὶ τοῦ ἐξιόντος ἐκ τῆς δευτέρας | δυνάμεως εἰς τὴν εἰλικρινῆ ἐνέργειαν· δεύτερον, περὶ τοῦ ἐξιόντος εἰς τὴν ἕξιν ἐκ τῆς πρώτης δυνάμεως, ἐν τῷ· Τὸ δ' ἐκ δυνάμει ὄντος. Φησὶ τοίνυν πρῶτον, ὅτι τὸ ἔχον ἐπιστήμην, τουτέστι τὸ καθ' ἕξιν ἐπιστάμενον, γίνεται ἐνεργείᾳ θεωροῦν. Ἀλλὰ τοῦτο οὐκ ἔστιν ἀληθῶς ἀλλοιοῦσθαι καὶ πάσχειν, διότι, ὡς εἴρηται, οὐκ ἔστι κυρίως πάθος καὶ ἀλλοίωσις, ὅταν ἐκ τῆς δυνάμεως προΐῃ εἰς τὴν ἐνέργειαν, ἀλλ' ὅταν τι ἐκ τοῦ ἐναντίου μεταβάλλῃ εἰς τοὐναντίον. Ὅταν δὲ τὸ καθ' ἕξιν ἐπιστάμενον γίνηται θεωροῦν ἐνεργείᾳ, οὐ μεταβάλλεται ἐκ τοῦ ἐναντίου εἰς τὸ ἐναντίον, ἀλλὰ τελειοῦται ἐν ἐκείνῳ ὃ ἤδη ἔχει. Καὶ τοῦτ' ἔστιν ὅ φησιν, ὅτι ἔστιν ἡ ἐπίδοσις εἰς αὐτὸ καὶ εἰς τὴν ἐντελέχειαν, ἢ εἰ λέγοιτο ἀλλοιοῦσθαι καὶ πάσχειν, ἔσται ἄλλο γένος ἀλλοιώσεως καὶ πάθος, οὐ τῆς κυρίως λεγομένης. Καὶ τοῦτο φανεροῖ διὰ παραδείγματος λέγων· Οὐ καλῶς ἔχει λέγειν τὸ φρονοῦν καθ' ἕξιν, ὅταν φρονῇ ἐνεργείᾳ, ἀλλοιοῦσθαι, ὥσπερ οὐδὲ λέγομεν τὸν οἰκοδόμον ἀλλοιοῦσθαι, ὅταν οἰκοδομῇ. Συμπεραίνει τοίνυν περαιτέρω ὅτι, ἐπειδὴ ὁ μεταβαίνων ἐκ τῆς ἕξεως εἰς τὴν ἐνέργειαν οὐ προσλαμβάνει ἐκ νέου ἐπιστήμην, ἀλλὰ προκόπτει ἐν ᾧ ἤδη ἔχει, τὸ δὲ διδάσκεσθαι ἐστὶ τὸ ἐπιστήμην λαμβάνειν, φανερόν ἐστιν ὅτι, ὅταν τις ἄγηται ἐκ δυνάμεως εἰς ἐνέργειαν κατ' ἐκεῖνο, ὅπερ ἄρχεται ποιεῖν αὐτὸν νοεῖν ἐνεργείᾳ καὶ φρονεῖν, οὐκ ἔστι δίκαιον τὴν τοιαύτην ἔξοδον ἐκ τῆς δυνάμεως ἐπωνυμίαν ἔχειν διδασκαλίας, ἀλλὰ ἄλλην τινά, ἥτις ἴσως οὐ κεῖται, τίθεσθαι δὲ δύναται.

Τὸ δ' ἐκ δυνάμεως. Ἐνταῦθα, δεύτερον, δηλοποιεῖ πότερον ὁπότε τις πρόεισιν ἐκ δυνάμεως τῆς πρώτης εἰς τὴν ἐνέργειαν τῆς ἐπιστήμης, ἀλλοιοῦται καὶ πάσχει, ἢ οὔ· καὶ φησὶν ὅτι, ὅταν τις ἐν δυνάμει πρότερον

Ε.ΥΠ.Α τμ. Κ.Π ΙΩΑΝΝΙΝΑ 2006